Eta Sigma Phi
Fifty-sixth Annual Greek Translation Contest (2005)
Advanced

To be written as an examination, under supervision, with a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest paper should be your pen name. **Translate the passage below into clear, idiomatic English.**

## Advice for a Cavalry Commander

Προσήκει δὲ ἱππάρχῳ ἔτι ἐν εἰρήνῃ ἐπιμελεῖσθαι ὅπως ἐμπείρως ἕξει τῆς τε πολεμίας καὶ τῆς φιλίας χώρας· ἢν δ' ἄρα αὐτὸς ἀπείρως ἔχῃ, τῶν ἄλλων γε δὴ τοὺς ἐπιστημονεστάτους ἑκάστων τόπων παραλαμβάνειν. πολὺ γὰρ διαφέρει ἡγούμενος ὁ εἰδὼς τὰς ὁδοὺς τοῦ μὴ εἰδότος, καὶ ἐπιβουλεύων δὲ πολεμίοις ὁ εἰδὼς τοὺς τόπους τοῦ μὴ εἰδότος πολὺ διαφέρει. καὶ κατασκόπων δὲ πρὶν πόλεμον εἶναι δεῖ μεμεληκέναι, ὅπως ἔσονται καὶ ἐκ πόλεων ἀμφοτέροις φιλίων καὶ ἐξ ἐμπόρων· πᾶσαι γὰρ αἱ πόλεις τοὺς εἰσάγοντάς τι ἀεὶ ὡς εὐμενεῖς δέχονται· καὶ ψευδαυτόμολοι δ' ἔστιν ὅτε χρήσιμον. οὐ μέντοι τοῖς γε κατασκόποις δεῖ ποτε πιστεύοντα φυλακῆς ἀμελεῖν, ἀλλ' ἀεὶ οὕτως κατεσκευάσθαι χρή, ὥσπερ ἢν ἥξοντες εἰσηγγελμένοι ὦσιν οἱ πολέμιοι. καὶ γὰρ ἢν πάνυ πιστοὶ ὦσιν οἱ κατάσκοποι, χαλεπὸν ἐν καιρῷ ἀπαγγέλλειν· πολλὰ γὰρ ἐν πολέμῳ τὰ ἐμπόδια συμπίπτει. τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιντο μᾶλλον ἢ εἰ ὑπὸ κήρυκος ἢ εἰ ἀπὸ προγραφῆς.

1 προσήκει governs the infinitives ἐπιμελεῖθαι and παραλαμβάνειν
7 κατασκόπων from κατάσκοπος *spy*
8 ἀμφοτέροις *to both sides*, with φιλίων.
10 ψευδαυτόμολοι *sham deserters*
10 ἔστιν ὅτε *sometimes.*
11 πιστεύοντα acts as subject of ἀμελεῖν
15 ἐμπόδια *obstacles.*
16 ἐξαγωγάς from ἐξαγωγή *leading out( of troops)*
17 παραγγέλσεως from παράγγελσις *transmission of orders*
18 προγραφῆς from προγραφή *public notice, proclamation*